# ΑΚΟΛΟΥΘΙΑ

ΕΙΣ ΤΟ

# ΑΞΙΟΝ ΕΣΤΙΝ.

---

Ἡ παροῦσα Ἀκολουθία πεφιλοπόνηται παρὰ τοῦ ἀοιδίμου διδασκάλου κυρίου Βενεδίκτου Ἱεροδιακόνου τοῦ ἐκ τοῦ Ῥωσσικοῦ ἱεροῦ Κοινοβίου, εὐλαβείᾳ τῇ πρὸς τὴν Κυρίαν Θεοτόκον, αἰτήσει τῶν τοῦ Πρωτάτου Ἐκκλησιαστικῶν, κατὰ τὸ ͵αωλή.

Μετεγράφη ἐν τῷ Ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθω.

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ.

Παρὰ τοῦ ἐλαχίστου ἐν Μοναχοῖς

ΙΩΣΗΦ Κ. ΣΚΑΘΑΡΟΥ

Τοῦ ἐξ Ἀθηνῶν προσκυνητοῦ.

*Εἰς κοινὴν ὠφέλειαν τῶν ἁπανταχοῦ Ὀρθοδόξων Χριστιανῶν.*

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Π. ΚΑΡΑΜΠΙΝΟΥ.

1867.

# Μηνὶ Ἰουνίῳ ιά.

Μνήμην ἐπιτελοῦμεν τοῦ γεγονότος θαύματος παρὰ τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῷ ᾄδειν, τῷ ὄντι πλησίον τῶν Καρεῶν.

Ἐν τῷ μικρῷ ἑσπερινῷ τῆς Θεοτόκου.

Προσόμοια δ'. ἦχος δ'. Ἔδωκας σημείωσιν.

Δεῦτε νῦν φιλέορτοι, τῶν Μοναστῶν ἅπας σύλλογος, δεῦτε ᾄσμασι μέλψωμεν, οἷς ἡμᾶς Ἀρχάγγελος, ἐδίδαξε μέλπειν τῇ ἁγνῇ Παρθένῳ, δεῦτε συμψάλλομεν θερμῶς, αὐτῆς τὰ θεῖα μεγαλουργήματα, καὶ πόθῳ μακαρίσωμεν, τὴν ὄντως ἀειμακάριστον, ἐν Ναῷ αὐτῆς σήμερον τοῦ Πρωτάτου γηθόμενοι.

Ὕμνον, ὃν Ἀρχάγγελος, ὁ Γαβριὴλ ὡς Προοίμιον, τοῦ Κοσμᾶ μολπῆς ἤσατο, κροτοῦντες θεόφρονες, σήμερον εὐήχως, ὑμνήσωμεν πόθῳ, καὶ εὐλαβείᾳ προσεχῶς, αὐτῆς τὸ μέγα τοῦτο θαυμάσιον, ὃ σήμερον ἐτέλεσεν, ἐν τῷ Κελλίῳ τοῦ ᾄδοντος, Μοναχῷ ὑπηκόῳ γάρ, ὕμνον ξένον ἐμύησε.

Νῦν σὲ μακαρίζωμεν, ἀειμακάριστε Δέσποινα, καὶ πιστῶς προσκυνοῦμεν σου, Εἰκόνα τὴν πάντιμον, Φιλάκισαν Ὄρους, πρὸς ἣν μορφῇ ξένῃ, ὁ Γαβριὴλ ἐξ οὐρανοῦ, ἄφνω ἐπέστη καὶ ἐμελῴδησε, τὸ Ἄξιόν ἐστιν ὑμνεῖν, καὶ μακαρίζειν σε Ἄχραντε, μεθ' οὗ πάντες ὑμνοῦμέν σε, τὴν μητέρα τοῦ Κτίσαντος.

Δόξα καὶ νῦν ἦχος ά.

Εὐφράνθητε σήμερον, πληθὺς τοῦ Ὄρους Μοναστῶν καὶ μιγάδων, καὶ σκιρτήσατε ἀγαλλόμενοι. Εὐχαριστήρια τῇ Παρθένῳ προσᾴδοντες. Ἰδοὺ γὰρ τῇ προμηθείᾳ αὐτῆς, δι' Ἀγγέλου παρουσίας τὸν Ἀγγελικὸν ἡμῖν ὕμνον ἐμυσταγώγησεν. Ἄξιον ἐστὶν ὡς ἀληθῶς, μακαρίζειν καὶ γεραίρειν αὐτήν, ὡς Μητέρα ὑπάρχουσαν τοῦ Ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Τὴν ἀνωτέραν τῶν Χερουβίμ, καὶ Σεραφὶμ Ἁγιωτέραν ἀσυγκρίτως ὑπάρχουσαν καὶ σώζουσαν ἐκ κινδύνων τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχ. ἦχος β'. οἶκος τοῦ Εὐφραθά.

Ἄξιον ἀληθῶς ὑπάρχει Θεοτόκε, ἀεὶ Σὲ μακαρίζειν, τὴν τοῦ Θεοῦ Μητέρα, σώζουσαν τοὺς τιμῶντάς σε.

Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Εἰκὼν πανευκλεὴς ἔφερε τῆς τοῦ Πρωτάτου, Μητρὸς τοῦ Θεοῦ λόγου, σκέποις ἡμᾶς φρουροῦσα, ἀπὸ παντοίων θλίψεων.

Τὸ πρόσωπόν σου λιτανεύουσιν οἱ πλούσιοι.

Ἄγγελος Γαβριὴλ, ἐξ οὐρανοῦ φοιτήσας, πρὸ τῆς σεπτῆς εἰκόνος, ὕμνον τὸν τῶν Ἀγγέλων, Ἁγνὴ Σοὶ ἐμελούργησε.

Δόξα καὶ νῦν ὅμοιον.

Ἐλπὶς Χριστιανῶν, Παναγία Παρθένε, χάριτι τῆς Εἰκόνος, ἀπὸ παντοίας βλάβης σοὺς δούλους διαφύλαττε.

Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα.

Ἱστῶμεν στίχ. ή. καὶ ψάλλομεν στίχ. προσόμοια.

Ἦχος ά. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! ὁ Θεὸς ὁ ἐκ σοῦ, σαρκωθεὶς ηὐδόκισε, τὸν ὕμνον σου νῦν Ἁγνὴ προοιμιάσασθαι. Διόπερ τὸν Γαβριὴλ, πρὸς Μοναχὸν ἐν ὁμοίῳ τῷ σχήματι, ἀπέστειλεν ὕμνους σοὺς, τοῦ ἐκδιδάξαι, ὃς πρὶν ἀνεβόα σοι. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Βαβαὶ τῶν σῶν θαυμασίων Ἁγνή! τοῦ Ὑψίστου Μήτηρ, ἀνεδείχθης Δέσποινα· καὶ ἤδη ἐξ οὐρανοῦ τῇ προμηθείᾳ σου, ἐστάλη ξένῃ μορφῇ, ὕμνον τὸν σὸν τοῦ διδάξαι Πανάμωμε, Ἀρχάγγελος Γαβριὴλ, τελειωτέρως· ὡς πρὶν ἀνεβόα σοι. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.



Τὴν σὴν δοξάζωμεν πρόνοιαν Θεομῆτορ κόρη, ἡμᾶς γὰρ ἐδίδαξας, προοίμια θαυμαστὰ, ὡς ἀληθῶς ὕμνου σοῦ, τοῦ θείου νῦν Γαβριὴλ, τῇ παρουσίᾳ τῇ ξένῃ πανάμωμε, προσπίπτοντες οὖν πιστῶς, σοὶ ἐκβοῶμεν, σὺν τούτῳ κραυγάζοντες. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Ὢ τοῦ παραδόξου θαύματος! Γαβριὴλ ὁ λαμπρὸς. μοναχοῦ ἐν σχήματι, ὡράθη τῷ Μοναχῷ, κέλλῃ ἐμμείναντι, ἀρξάμενος θαυμαστῶς, προοιμιάζειν σὸν ὕμνον Πανάμωμε· ἐχάραξε δὲ εὐθὺς, ἐπὶ πλακὸς τῇ χειρὶ τὰ ᾀδόμενα, ἅμα δ' ἀφανὴς ἐκ τούτου, γεγονὼς εἰς ἔκπληξιν, τὸν Μονάζοντα ἦγε, τοῦ δοξάζειν σε Πανύμνητε.

Δόξα καὶ νῦν ἦχος δ'.

Ἔπρεπε τῷ Ὄρει τῷδε τοῦ Ἄθωνος, σὲ προστάτιν αὐχοῦντι Θεομῆτορ, ὕμνους τοὺς σοὺς Κόρη πανύμνητε, τὸν Ἀρχάγγελον πρώτιστα, τούτους ἐν αὐτῷ ἐξυμνήσασθαι, κἀντεῦθεν εἰς τὰ πέρατα τῆς Οἰκουμένης διαδραμεῖν, πρὸς συνασπισμὸν ᾀσμάτων Θεομητορικῶν. Διὸ βοῶμέν σοι· Θεοτόκε ὑπερένδοξε, τὸν σὸν Υἱὸν καθικέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Τὸ φῶς ἱλαρόν. Τὸ προκείμ. τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Γενέσεως τὸ ἀνάγνωσμα.

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαῤῥὰν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· (ἔδυ γὰρ ὁ Ἥλιος)· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ. Καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ Γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν Οὐρανὸν, καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον, καὶ κατέβαινον ἐπ' αὐτήν. Ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς· καὶ εἶπεν. Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ Πατρός σου, καὶ ὁ Θεὸς Ἰσαὰκ, μὴ φοβοῦ· ἡ γῆ ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σπέρμα σου ὡσεὶ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν, καὶ Λίβα, καὶ Βοῤῥᾶν, καὶ ἐπὶ Ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ διαφυλάττων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς. Καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω ἕως τοῦ ποιῆσαί με πάντα, ὅσα ἐλάλησά σοι· καὶ ἐξηγέρθη Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν· ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη, καὶ εἶπεν. Ὡς φοβερὸς ὁ τόπος οὗτος. Οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ· καὶ αὕτη ἡ πύλη τοῦ Οὐρανοῦ.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης, καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον, τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς λέγει Κύριος Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ Ἀνατολάς· καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται· καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς. Καὶ ἔσται κεκλεισμένη, διότι ὁ ἡγούμενος οὗτος, κάθητε ἐπ' αὐτῆς τοῦ φαγεῖν ἄρτον· κατὰ τὴν ὁδὸν τοῦ Ἐλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῶν ἁγίων τῆς πρὸς βοῤῥᾶν, κατέναντι τοῦ οἴκου. Καὶ εἶδον καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Παροιμιῶν τὸ ἀνάγνωσμα.

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκίρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον· καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς Τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπικρατῆρα λέγουσα. Ὅς ἐστιν ἄφρων, ἐκλινάτω πρός με. Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· Ἔλθετε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. Ἀπολείπετε ἀφροσύνην, καὶ ζήσισθε· καὶ ζητήσατε φρόνησιν ἵνα βιώσητε, καὶ κατορθώσητε



σύνεσιν ἐν γνώσει. Ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν. Ἐλέγχων δὲ τὸν ἀσεβῆ μωμήσεται ἑαυτόν· οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες αὐτῷ. Μὴ ἔλεγχε κακοὺς ἵνα μὴ μισήσωσί σε. Ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας φόβος Κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις. Τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Εἰς τὴν λιτὴν, ἰδιόμ. τοῦ Ἁγίου τῆς Μονῆς.

Ἦχος ά.

Ἀγῶνα καλὸν ἠγωνίσω, καὶ δρόμον τετέλεκας τοῦ μαρτυρίου σου, μάρτυς Παντελεῆμον. Διὸ ἐν ὑψίστοις μετ' Ἀγγέλων χορεύεις, ἀντάξια τῶν πόνων σου, εἰληφὼς τὰ ἄνω βασίλεια, ἀλλὰ πρέσβευε ἰατρὲ παμμακάριστε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα τῆς Ἑορτῆς ἦχος ά.

Παρθενικὴ πανύγηρις σήμερον Ἀδελφοί. Σκιρτάτω ὁ Ἄθως, χορευέτω ἡ Ἐκκλησία, συνεκάλεσε γὰρ ἡμᾶς ἡ ἁγία Θεοτόκος, τῇ ἐτησίῳ πανυγήρει, τῶν ξένων ὕμνων αὐτῆς, Γαβριὴλ τοῦ Ἀρχαγγέλου ἡμᾶς ἐκδιδάξαντος, ξενοτρόπως τοῦ θείου ὕμνου αὐτῆς τὰ προοίμια. Οὕτω γὰρ φανεὶς τῷ Μοναχῷ ἐν ὁμοίῳ τῷ σχήματι, τὴν Θεοτόκον ἐμεγάλυνεν, ὡς τὸν ἐπὶ τῶν Χερουβὶμ μετὰ σώματος βαστάσασαν. Ταῖς αὐτῆς ἱκεσίαις Χριστὲ ὁ Θεὸς σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Ἡ τῶν Οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτήσεως τιμιωτέρα, ἡ δ' ὑπερβάλλουσα καθαρότητα, τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, Μονηδρίῳ τῷ αὐτῆς, σήμερον ὑπὸ Ἀγγέλου μεγαλύνεται, ᾠδαῖς, καὶ διὰ αὐτοῦ πληροῦται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΤΟΡΗΣ ΠΑΠΑ...

Ὁ αὐτός.

Ἡ πανάμωμος νύμφη, καὶ Μήτηρ τῆς εὐδοκίας τοῦ Πατρὸς, ἡ Θεῷ προορισθεῖσα εἰς ἑαυτοῦ κατοίκησιν, σήμερον ξενήκουστον ᾠδὴν, δι' Ἀρχαγγέλλου εἰς ἡμᾶς παραδίδωσιν· ἣν ἀσωμάτων Δυνάμεις, ἀκαταπαύστως δοξάζουσι. Καὶ ἡμεῖς μακαρίζομεν, ὡς Θεοτόκον ἀληθῶς τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Δόξα καὶ νῦν. Ἦχος πλ. ά.

Ἄσατε λαοὶ, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσατε, σήμερον γὰρ ὁ Ἀρχάγγελος ᾠδὴν καινὴν, τῆς Παναχράντου Παρθένου, εἰς Μοναχὸν μονωθέντα, ξένῃ μορφῇ ἐμελῴδησεν, ἣν καὶ γεραίρειν ἀδιαλείπτως, ἐποφείλομεν πάντες, προστάτιν ἡμῶν ὑπάρχουσαν.

Εἰς τὸν στίχ. στιχ. προσόμοια. ἦχος ά.

Τῶν Οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων Ταγμάτων τὸν προεξάρχοντα, σοὶ Γαβριὴλ τὸν Θεῖον, ὁ Θεὸς πρὶν Παρθένε, ἀπέστειλε κομίσαι Κόρη τῆς σῆς, ἀνεκφράστου Συλλήψεως, τὰ Εὐαγγέλια· καὶ νῦν δὲ ὕμνου τοῦ σοῦ, ἐκδιδάξαι τὰ προοίμια.

Μνησθήσομαι τοῦ ὀνόματός σου.

Τίς ἂν ἀξίως Παρθένε ἐκδιηγήσαιτο, τὸ ξένον τοῦτο θαῦμα, τὸ εἰς δόξαν σὴν Κόρη; καὶ προοιμιάσας ὕμνον τὸν σὸν, θαυμαστοῖς ἐγκωμίοις σου, ὤφθη ἐν σχήματι Ἄγγελος νῦν Μοναχοῦ, οὕτως ᾄδειν λέγων ἅπαντα.

Τὸ πρόσωπόν σου λιτανεύουσιν.

Σὲ μακαρίζειν Παρθένε, ἐστὶν ἐπάξιον, ὡς ἀληθῶς ὁ θεῖος Γαβριὴλ ἐμελῴδη, ἁγνὴν τὴν Θεοτόκον τὴν ἐς ἀεὶ, μακαριστὴν καὶ πανάμωμον, ὄντως Μητέρα οὖσάν σε τοῦ Θεοῦ, ἣν ἐν ὕμνοις μεγαλύνομεν.

Δόξα καὶ νῦν ἦχος δ'.

Ὕμνον ὃν οὐκ ἔγνω, ἤκουσε νῦν ὁ Μονάζων· ἐλάλει γὰρ πρὸς αὐτὸν ὁ Ἀρχάγγελος, τοῦ ὕμνου σου Κόρη προοίμια. Ὅθεν εἰκότως θαυμάζων ὁ Μοναχὸς, ἠρώτα ταῦτα παραδοῦναι καὶ



ἐν γραφῇ. Διὸ ἐν πλακὶ τῇ χειρὶ χαράξας, καὶ ἐξ αὐτοῦ γεγονὼς ἀφανὴς, εἰς θάμβος αὐτὸν ἐξήγειρε, καὶ ἀνυμνεῖν σε ἀεὶ, τὴν Θεοτόκον παρεσκεύασεν.

Ἀπολυτίκιον ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Πατέρων ἀθροίσθητε, πᾶσα τοῦ Ἄθω πληθὺς, πιστῶς ἑορτάζοντες, σήμερον χαίροντες, καὶ φαιδρῶς ἀλλαλάζοντες, πάντες ἐν εὐφροσύνῃ, τοῦ Θεοῦ γὰρ ἡ Μήτηρ, νῦν παρὰ τοῦ Ἀγγέλου, παραδόξως ὑμνεῖται, διὸ ὡς Θεοτόκον ἀεὶ, ταύτην δοξάζομεν.

Εἰς τὸν Ὄρθρον τὸ, Θεὸς Κύριος, καὶ τὸ ἀνωτέρω Τροπάριον.

Εἰς τὴν ά. στιχ. κά. ἦχος ά.

Τὸν τάφον σου Σωτήρ.

Ἡ ἅπασα πληθὺς, τῶν τοῦ Ἄθω Πατέρων, ἠθροίσθη νῦν φαιδρῶς, τοῦ ὑμνῆσαί σου Κόρη, τὴν ἔνδοξον πανήγυριν, Θεοτόκε πανύμνητε, καὶ γὰρ σήμερον, ὁ Ἀρχηγὸς τῶν Ἀγγέλων, τὰ προοίμια, ὕμνου τοῦ σοῦ παραδόξως, ἡμῖν διετράνωσε.

Δόξα καὶ νῦν. Τὸ αὐτό.

Εἰς τὴν β'. στιχ. κά. ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Γαβριὴλ ἐξ οὐρανοῦ, πρὶν ἀπεστάλη σοι Ἁγνὴ, εὐαγγελίσασθαι τὴν σὴν, ἄσπορον Σύλληψιν φρικτὴν, αὐτὸς καὶ ἤδη ἐν σχήματι προσεφάνη, Μονάζοντος σαφῶς, διδάξαι ὕμνον τὸν σὸν, καὶ τοῦτον θαυμαστῶς, ἃ ἐχάραξε· καὶ διὰ τοῦτο ἅπαντες τοῦ Ἄθω, οἱ Μονασταὶ καὶ μιγάδες, βοῶμεν χαῖρε, ἣν ἀνυμνοῦσι, τῶν Ἀγγέλων τὰ τάγματα.

Δόξα καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὸν Πολυέλεον. κά. ἦχος γ'.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου.

Ἄθω νῦν ἅπασα, πληθὺς ἀγάλλεται, πανηγυρίζουσα λαμ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πρὰν πανήγυριν, τὴν Θεοτόκον ἀληθῶς, μαθοῦσα σὲ μακαρίζειν, τὴν ἀειμακάριστον, καὶ Ἁγνὴν Παναμώμητον, ἄχραντον Μητέρα τε, τοῦ Θεοῦ ἡμῶν πέλουσαν, διὸ σὺν Γαβριὴλ σοὶ βοῶμεν· χαῖρε ἡ κεχαριτωμένη.

Δόξα καὶ νῦν. Ὅμοιον.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ δεικνὺς ἡμῖν ἐβόα νῦν μελῳδῶν σοι, ὕμνου σου προοίμια, θαμαστὰ πανεξαίρετα, ταῦτα καὶ ἐχάραξε, τῇ πλακὶ παραδόξως τε, εὐθὺς δὲ ἀφανὴς ἐγεγόνει· ὅθεν ὑμᾶς ἄμφω τιμῶμεν.

Οἱ Ἀναβαθμοί. Τὸ ά. Ἀντίφωνον τοῦ δ. ἤχου.

Τὸ προκείμενον.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχ. Ἄκουσον θύγατερ καὶ ἴδε...

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν. Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ.

Ὁ Ν. Δόξα. Ταῖς τῆς Θεοτόκου. Καὶ νῦν. Τὸ αὐτό.

Εἶτα τὸ ἰδιόμελον. Ἦχος β'.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Εὐαγγελίσατο ὁ Γαβριὴλ, τῇ κεχαριτωμένῃ πρότερον χαῖρε ἀνύμφευτε Κόρη καὶ ἀπειρόγαμε. Νῦν δὲ ὁραθεὶς, ἐν ξένῃ τῇ μορφῇ, Μονάζοντι ᾠδὰς, ἐφθέξατο καινάς. Τότε Εὐαγγέλια ἔφη σοι Ἁγνὴ, νῦν ἐξύμνησέ σε θαυμαστῶς ὡς Παναμώμητον, καὶ τέξασα Κόρη τὸν Κύριον.

Οἱ Κανόνες, εἰ βούλει, ὁ β'. Κανὼν τῆς Κοιμήσεως εἰς ς'.

καὶ ὁ παρὼν εἰς η'. εἰ δὲ μὴ ὁ παρὼν εἰς ιδ'.

Ὠδὴ ά. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ὁ Ἄθως ὃς κέκληται, Ἅγιον Ὄρος πανάχραντε, Ἁγνὴ ὡς προείρηκας, νῦν ἑορτάζει φαιδρῶς, σὲ τὸν Ἅγιον, τῷ ὄντι Ὄρος οὖσαν, καὶ θείαν πανήγυριν, ἄγει σοι σήμερον.

Τοῖς θείοις ἀείποτε, ὁ Γαβριὴλ μυστηρίοις τε, τοῖς σοῖς κατ' ἐξαίρετον, ὑπηρετεῖ θαυμαστῶς, ὦ Πανάχραντε, διὸ καὶ νῦν Παρθένε, σοῦ ὕμνου γηθόμενος, ᾄδει προοίμια.



Ἀεὶ Παναμώμητε, οὐ διαλείπεις τοῖς δούλοις σου, τελεῖν πανεξαίσια, θαύματα Μῆτερ Ἁγνὴ, καὶ ἐν ἅπασι, καιροῖς εὐεργεσίας, προχέειν Πανάχραντε, ὡς εὐεργέτις ἡμῶν.

Πῶς εἴπω τὸ μέγιστον, ἐκτελεσθέν σοι θαυμάσιον, πλήσιον Ἀρχάγγελε, Σκήτης τῆς τῶν Καρεῶν, ὃς ἐδίδαξας, ἡμᾶς σῇ παρουσίᾳ, ᾠδὴν τὴν ἐπάξιον τῇ Θεομήτορι.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἐπέστη καιρὸς τοῦ ἀθροισθῆναι, Πατέρας τοὺς ἅπαντας Ναῷ, τῷ τοῦ Πρωτάτου πάνυχον, ἐπιτελέσαι αἴνεσιν, τότε τοὺς θείους ὕμνους σου, ᾄδει Ἁγνὴ ὁ Ἀρχάγγελος.

Συνῆλθε τοῖς ἄλλοις καὶ Γέρων, τινὸς ὑπηκόου Μοναχοῦ, καὶ τούτῳ μόνῳ μείναντι, ὁ Γαβριὴλ Ἀρχάγγελος, ὤφθη ὁμοίῳ σχήματι, προοιμιάζων τὸν ὕμνον σου.

Προσθήκην ἐποίει σου τῷ ὕμνῳ, καὶ οἷον προοίμιον Ἁγνὴ, τοῦ οὗπερ προεξύμνησε, Κοσμᾶς ὁ θεῖος λάτρις σου, λέγων, ὡς οὕτως εἴθισται, αὐτοῖς προλέγειν τοῦ ὕμνου σου.

Ὢ τῶν θαυμασίων σου τῶν ξένων! Ἀρχάγγελε θεῖε Γαβριὴλ, πῶς Μοναχοῦ τῷ σχήματι, τοὺς ὕμνους ἐμελῴδησας, τῆς Θεοτόκου σήμερον, καὶ ὡς ἐχρῆν ἐμεγάλυνας.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους...

Κάθισμα, ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη Μοναχὸς, τοῦ Ἀγγέλου τῇ ᾠδῇ, ξένος ᾄδοντος αὐτὴν, πρὸ τοῦ σοῦ ὕμνου ὦ Ἁγνὴ, φανέντος τοῦτο ἐν σχήτι παρομοίῳ· εἰπεὶ δὲ ὁ Μοναχὸς, γραφῆναι ᾔτει αὐτὴν, εἰς πλάκα τῇ χειρὶ ξένος ἐχάραξε, καὶ ἀφανὴς ἐγένετο. Ἐντεῦθεν διεκηρύχθη τοῖς πᾶσιν, ὁ ὕμνος οὗτος, τοῦ Θεοτόκον, σὲ δοξάζειν πανάμωμε.

Δόξα καὶ νῦν, τὸ αὐτό.

Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Ἄξιον προέλεγεν ὡς ἀληθῶς, ἐστὶ μακαρίζειν σε Πάναγνε, τὴν Θεοτόκον, τὴν ἀεὶ μακαριστὴν, καὶ ὄντως παναμώμητον, καὶ Θεοῦ Μητέρα πανάχραντον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Τ**ὴν προοιμιάζουσαν ταύτην ᾠδὴν, θείου Γαβριὴλ ξένως ᾄδοντος, ἐξεθαμβεῖτο, ὁ ἀκούων Μοναχὸς, ἐπεὶ δὲ ἐπυνθάνετο, οὕτως ᾄδειν ἔφη εἰώθαμεν.

**Λ**έγειν καὶ προέτρεπεν οὕτως αὐτὸν, ταῦτα Γαβριὴλ τὰ προοίμια, εἶθ' οὕτως ᾄδειν, ὕμνον θεῖον τοῦ Κοσμᾶ, καὶ πάντας ἐκδιδάξασθαι, ταῦτα θεῖος ἔφη Ἀρχάγγελος.

**Ἐ**πείπερ ᾐτήσατο ὁ Μοναχὸς, θεῖε Γαβριὴλ οὗπερ ἤκουσεν ὕμνους γραφῆναι, σὺ ἐχάραξας εὐθὺς, ἐπὶ πλακὸς Ἀρχάγγελε, Δόξα τῇ ἀρρήτῳ δυνάμει σου.

Καταβασία. Τὴν ἀνεξιχνίαστον. . .

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

**Ἐ**ξέστη ὁ Ἄνθρωπος, τοῖς ξένοις θαυμασίοις τε, ὅτε ξένως εἶδε χαραχθῆναι, πλάκα καὶ αἴφνης τὸν προσκαλοῦντα αὐτῷ, ἅμα γεγονότα ἀφανῆ Γαβριὴλ τὸν ἔνδοξον, καὶ σεπτὸν Ἀρχιστράτηγον.

**Ὁ** Γέρων ὡς ἔωθεν, κέλλη αὐτοῦ ὑπέστρεψε, καὶ ταῦτα ὡς ἤκουσε τὰ ξένα, πλάκα τε εἶδε κεχαραγμένην χειρὶ, ἅραντες εὐθὺς σὺν μαθητῇ, ταύτην προσεκόμισαν, τοῖς τοῦ Ὄρους ἐξάρχουσι.

**Δ**ιέκπυστα γέγονε, καὶ πᾶσι διαβόητα, ταῦτα τὰ θαυμάσια Παρθένε, πλάκα ἐπείπερ, τῇ Βασιλίδι εὐθὺς Πόλεων, ἀπέστειλαν φαιδρῶς, οἱ τοῦ Ὄρους, πρόκριτοι, τοῦ δοξάζειν σε ἅπαντας.

**Σ**υνέδραμον ἅπαντες, εἰς πενιχρὸν Μονίδριον, ᾧ τὸ ξένον θαῦμα ἐγεγόνει, καὶ σὴν εἰκόνα ἐφ' ἧς ἐψάλθη ᾠδὴ, Ἁγνὴ προσκυνοῦντες εὐλαβῶς, παμψηφεὶ συνέθετο, τῷ Πρωτάτῳ φυλάττεσθαι.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς΄. Τὴν θείαν ταύτην καὶ. . .

**Ἀ**ρρήτω πάντες συνέρρευσαν, χαρᾷ καὶ εὐφροσύνῃ κομίσασθαι, σεπτὴν εἰκόνα σου, οἱ Ἱερεῖς καὶ Μονάζοντες, καὶ πᾶσα ἡ τοῦ Ὄρους πληθὺς Πανάχραντε.



**Τ**ὴν θείαν ταύτην εἰκόνα σου, σὺν πάσῃ εὐλαβείᾳ κατέχοντες, πατέρες ἅπαντες, ὕμνοις κροτοῦντες καὶ ᾄσμασιν, εἰσήγαγον τῷ θείῳ Ναῷ σου Πάναγνε.

**Π**αρθένε στάσιν πανύχιον, ἐτέλεσαν Σὲ πόθῳ γεραίροντες, καὶ τὸν Ἀρχάγγελον, ὕμνον τὸν σὸν ἀπαγγείλαντα, καὶ νῦν ἡμεῖς ὡσαύτως ἄμφω γεραίρομεν.

**Π**ατέρες θεῖοι ἐν ᾄσμασι, μετὰ Μυσταγωγίαν ἐπάραντες, θείαν εἰκόνα σου, ἔνδον Ναοῦ εἰς τὰ ἄδυτα σὺν πλείστῃ εὐλαβείᾳ ἀφωσιώσαντο.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον ἦχος δ΄. Ἐπεφάνης σήμερον.

**Ἑ**ορτάζει σήμερον, ἅπας ὁ Ἄθως, ὅτι ὕμνους δέδεκται, ὑπὸ Ἀγγέλου θαυμαστῶς, Σοῦ τῆς ἁγνῆς Θεομήτορος, ἣν πᾶσα κτίσις γεραίρει δοξάζουσα.

Ὁ Οἶκος.

**Ν**ῦν εὐφραινέσθω ἡ πληθὺς Πατέρων τῶν τοῦ Ἄθω, ἰδοὺ γὰρ τῆς Παρθένου, ὁ Γαβριὴλ νῦν ᾄδει, ὕμνου προοίμια τοῦ πρὶν, ὅνπερ θαυμασίως ἐμελῴδησεν αὐτῇ, Κοσμᾶς ὁ θεῖος ὑμνῳδὸς, ὃς ἄξιον ἐστὶν ὡς ἀληθῶς ἔλεγε, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Καὶ τούτῳ ἐπέταττεν, οὕτω προοιμιάζειν τοὺς πάντας τοὺς ὕμνους σου. Καὶ ταῦτα χαράξας τῇ χειρὶ ἐπὶ πλακὸς, γέγονεν αἴφνης ἀφανής· ὁ δὲ Μοναχὸς ἐκπληττόμενος ἀνύμνει ὡς ἐδιδάχθη ἁγνὴν Θεομήτορα. Ἣν πᾶσα κτίσις γεραίρει δοξάζουσα.

Τῷ αὐτῷ Μηνὶ ιά.

Ἡ Σύναξις τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῷ Ἄδειν.

» Ἤσεις Γαβριὴλ πρὶν τὸ χαῖρε τῇ Κόρῃ.
« Ἄδεις δὲ καὶ νῦν, ἄξιον σε ὑμνέειν.
» Πρώτῃ τε καὶ δεκάτῃ Ναὸς σεπτὸς Μητρὸς Θεοῖο,
» Ὁ ἐν Ἄδειν δέξατο ἱερὸν Γαβριήλ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

## Ὑπόμνημα περὶ τοῦ θαύματος τοῦ γενομένου ὑπὸ τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθω, ἤτοι περὶ τοῦ Ἀρχαγγελικοῦ ὕμνου τοῦ,

## ΑΞΙΟΝ ΕΣΤΙΝ.

Κατὰ τὴν Σκῆτιν τοῦ Πρωτάτου, τὴν εὑρισκομένην εἰς τὰς Καρεὰς, ἐκεῖ πλησίον, ἐν τῇ τοποθεσίᾳ τῆς Ἱερᾶς Μονῆς τοῦ Παντοκράτορος, εἶνε λάκος μεγάλος, ὅστις ἔχει κελλία διάφορα. Εἰς ἕνα γοῦν τῶν κελλίων τούτων, ἐπ' ὀνόματι τιμώμενον τῆς Κυρίας Θεοτόκου τῆς Κοιμήσεως, ἐκατοίκει ἕνας Ἱερομόναχος γέρων καὶ ἐνάρετος μετὰ ἄλλου ὑποτακτικοῦ. Ἐπειδὴ δὲ ἦτον συνήθεια νὰ γίνεται ἀγρυπνία κάθε Κυριακὴν εἰς τὴν ῥηθεῖσαν τοῦ Πρωτάτου Σκῆτιν, κατὰ τὸ ἑσπέρας ἑνὸς Σαββάτου, θελωντας νὰ ὑπάγῃ ὁ προῤῥηθεὶς γέροντας εἰς τὴν ἀγρυπνίαν, λέγει τῷ μαθητῇ αὐτοῦ. Τέκνον ἐγὼ μὲν ὑπάγω διὰ νὰ ἀκούσω τὴν ἀγρυπνίαν, ὡς σύνηθες· σὺ δὲ μεῖνον εἰς τὸ κελλίον, καὶ ὡς δύνασαι, ἀνάγνωθι τὴν Ἀκολουθίαν σου· καὶ οὕτως ἀπῆλθεν. Ἀφοῦ δὲ ἡ ἑσπέρα παρῆλθεν, ἰδοὺ κρούει τις τὴν θύραν τοῦ κελλίου, ὁ δὲ ἀδελφὸς ἔδραμε καὶ τὴν ἄνοιξε, καὶ βλέπει, ὅτι ἦτον ξένος μοναχὸς, ἀγνώριστος εἰς αὐτόν· ὅστις εἰσελθὼν, ἔμεινεν εἰς τὸ κελλίον τὴν νύκτα ἐκείνην. Ἐν τῇ ὥρᾳ δὲ τοῦ ὄρθρου, ἀναστάντες, ἔψαλλον καὶ οἱ δύο τὴν ἀκολουθίαν· ὅταν δὲ ἦλθον εἰς τὴν τιμιωτέραν, ὁ μὲν ἐντοπιος μοναχὸς, ἔψαλλε μόνον, τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ καθ' ἑξῆς ὡς τέλους· τὸν συνήθη δηλ. καὶ παλαιὸν ὕμνον τοῦ Ἁγίου Κοσμᾶ τοῦ ποιητοῦ, ὁ δὲ ξένος ἐκεῖνος μοναχὸς, κάμνωντας ἄλλην ἀρχὴν τοῦ ὕμνου, ἔψαλλεν οὕτως. «Ἄξιον ἐςὶν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν»· εἶτα ἐσύναψε καὶ τὴν τιμιωτέραν μέχρι τέλους. Ἀκούσας δὲ ταῦτα ὁ ἐντόπιος μοναχὸς, ἐθαύμασε, καὶ λέγει πρὸς τὸν φαινόμενον ξένον. Ἡμεῖς μόνον ψάλλομεν. «τὴν τιμιωτέραν»· τὸ δὲ «Ἄξιον



ἐστὶν», οὐδέ ποτε ἠκούσαμεν, οὔτε ἡμεῖς, οὔτε οἱ πρωτίτεροι ἀπὸ ἡμᾶς. Ἀλλὰ παρακαλῶ σε, ποίησον ἀγάπην, καὶ γράψον καὶ εἰς ἐμένα τὸν ὕμνον τοῦτον, διὰ νὰ ψάλλω καὶ ἐγὼ εἰς τὴν Θεοτόκον· ὁ δὲ ἀποκριθεὶς, φέρε μοι, τοῦ λέγει, μελάνι, καὶ χαρτὶ διὰ νὰ τὸ γράψω. Ὁ ἐντόπιος, δὲν ἔχω, τοῦ λέγει, οὔτε μελάνι, οὔτε χαρτί. Καὶ ὁ φαινόμενος ξένος, φέρε μοι, τοῦ εἶπε, μίαν πλάκα. Ὁ δὲ Μοναχὸς δραμὼν, εὗρε πλάκα, καὶ τοῦ τὴν ἔφερε. Λαβὼν δὲ ταύτην ὁ ξένος, ἔγραψεν ἐπάνω εἰς αὐτὴν μὲ τὸν ἑαυτοῦ δάκτυλον τὸν ῥηθέντα ὕμνον, τὸ, Ἄξιον ἐστί. Καὶ, ὢ τοῦ θαύματος! τόσον βαθέως ἐχαράχθησαν τὰ γράμματα ἐπάνω εἰς τὴν σκληρὰν πλάκα, ὡσὰν νὰ ἐγράφησαν ἐπάνω εἰς πηλὸν ἁπαλώτατον. Εἶτα λέγει τῷ ἀδελφῷ· ἀπὸ τῆς σήμερον καὶ εἰς τὸ ἑξῆς, οὕτω νὰ ψάλλετε καὶ ἐσεῖς, καὶ ὅλοι οἱ ὀρθόδοξοι. Καὶ ταῦτα εἰπὼν ἔγινεν ἄφαντος· ἦτον γὰρ Ἅγιος Ἄγγελος, ἀπεσταλμένος ὑπὸ Θεοῦ, διὰ νὰ ἀποκαλύψῃ τὸν Ἀγγελικὸν ὕμνον τοῦτον, καὶ τῇ Μητρὶ τοῦ Θεοῦ πρεπωδέστατον· μᾶλλον δὲ, ἦτον ὁ Ἀρχάγγελος Γαβριὴλ, ὡς ῥηθήσεται ὄπισθεν. Ἀφ' οὗ δὲ ἦλθεν ἀπὸ τὴν ἀγρυπνίαν ὁ γέροντας, καὶ εἰσῆλθεν εἰς τὸ Κελλίον, ἀρχίζει ὁ ὑποτακτικὸς αὐτοῦ νὰ ψάλλῃ τὸ, Ἄξιόν ἐστι, καθὼς ὁ Ἄγγελος αὐτοῦ ἐπαρήγγελε· καὶ ἀκολούθως δείχνει εἰς τὸν γέροντά του καὶ τὴν ῥηθεῖσαν πλάκα μὲ τὰ Ἀγγελοχάρακτα γράμματα· ὁ δὲ ταῦτα ἀκούσας, καὶ ἰδὼν, ἔμεινεν ἐκστατικὸς διὰ τὸ τοιοῦτον θαυμάσιον. Καὶ λοιπὸν λαβόντες καὶ οἱ δύω τὴν Ἀγγελοχάρακτον ἐκείνην, ἀπῆλθον εἰς τὸ Πρωτάτον· καὶ δείξαντες αὐτὴν εἴς τε τὸν πρῶτον τοῦ Ἁγίου Ὄρους καὶ εἰς τοὺς λοιποὺς γέροντας τῆς Κοινῆς συνάξεως, ἐδιηγήθησαν εἰς αὐτοὺς ἅπαντα τὰ γενόμενα· οἱ δὲ δοξάσαντες ὁμοφώνως τὸν Θεὸν, καὶ εὐχαριστήσαντες τὴν Κυρίαν ἡμῶν Θεοτόκον, διὰ τὸ παράδοξον τοῦτο, εὐθὺς ἀπέστειλαν τὴν πλάκα εἰς τὴν Κωνσταντινούπολιν, πρός τε τὸν Πατριάρχην, καὶ τὸν Βασιλέα σημειώσαντες εἰς αὐτοὺς διὰ γραμμάτων ἅπασαν τὴν ὑπόθεσιν τοῦ τοιούτου τερατουργήματος. Ἀπὸ τότε δὲ καὶ ὕστερα, ὁ μὲν Ἀγγελικὸς αὐτὸς ὕμνος

διεδόθη εἰς ὅλην τὴν οἰκουμένην, διὰ νὰ ψάλληται εἰς τὴν Θομήτορα, ἀπὸ ὅλους τοὺς Ὀρθοδόξους. Ἡ δὲ Ἁγία εἰκὼν τῆς Θεοτόκου, ἡ εὑρισκομένη εἰς τὴν Ἐκκλησίαν τοῦ Κελλίου ἐκείνου, ἐν ᾧ τὸ τοιοῦτον γέγονε θαῦμα, μετεφέρθη ἀπὸ τοὺς Πατέρας τοῦ Ἁγίου Ὄρους, εἰς τὴν Ἐκκλησίαν τοῦ Πρωτάτου· καὶ εἰς αὐτὴν εὑρίσκεται ἕως τῆς σήμερον, ἐνθρονιασμένη ἐπάνω τοῦ ἱεροῦ Συνθρόνου, ἐντὸς τοῦ Ἁγίου Βήματος, ἐπειδὴ καὶ ἔμπροσθεν τῆς εἰκόνος ταύτης ἐψάλθη πρῶτον ὑπὸ τοῦ Ἀγγέλου ὁ ὕμνος οὗτος. Τὸ δὲ Κελλίον ἐκεῖνο, ἔλαβε τὴν ἐπωνυμίαν νὰ ὀνομάζεται Ἄξιόν ἐστι. Καὶ ὁ λάκκος ἐκεῖνος, εἰς τὸν ὁποῖον τὸ Κελλίον εὑρίσκεται, ὀνομάζεται ἀπὸ ὅλους ἕως τὴν σήμερον, Ἄδειν· ὅ ἐστι ψάλλειν, διὰ τὸ νὰ ἐψάλθη πρῶτον εἰς αὐτὸν ὁ Ἀγγελικὸς, καὶ Θεομητροπρεπὴς οὗτος ὕμνος.

Ὅτι τὸ θαῦμα τοῦτο εἶναι πολλὰ παλαιόν. Καὶ ὅτι ὁ Ἄγγελος ὁποῦ ἐφάνη, ἦτον ὁ Ἀρχάγγελος Γαβριὴλ, μαρτυρεῖ καὶ τὸ ἐν τοῖς τετυπωμένοις Μηναίοις γεγραμμένον, κατὰ τὴν ἑνδεκάτην τοῦ Ἰουνίου μηνὸς, οὕτω. « Τῇ αὐτῇ ἡμέρᾳ ἡ σύναξις τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῷ Ἄδειν. Ἐπειδὴ γὰρ, ὡς φαίνεται, ἐν τῇ ἑνδεκάτῃ τοῦ Ἰουνίου ἠκολούθησε τὸ τοιοῦτον θαυμάσιον· τούτου χάριν οἱ τότε πατέρες, ἐτέλουν σύναξιν, καὶ Λειτουργίαν κατ' ἐνιαυτὸν, εἰς τὸν ῥηθέντα λάκκον, τὸν ἐπονομαζόμενον, Ἄδειν εἰς μνήμην τοῦ θαύματος, τιμῶντες, καὶ δοξάζοντες τὸν Ἀρχάγγελον Γαβριὴλ· ὅστις, καθὼς ἀπ' ἀρχῆς ἕως τέλους ἐστάθη ὁ ἔνθεος ὑμνολόγος τῆς Θεοτόκου, καὶ τροφεὺς καὶ διακονιτὴς, καὶ χαροποιὸς αὐτῆς Εὐαγγελιστής· οὕτως ὑπηρέτησε καὶ εἰς τὸ νὰ ἀποκαλύψῃ τὸν ὄντως Θεομητρικὸν τοῦτον ὕμνον, ὡς αὐτῷ μόνῳ κατὰ πάντα πρεπούσης τῆς τοιαύτης διακονίας.

Καὶ πάλαι μὲν ὁ Δεσπότης τῶν ὅλων Θεὸς, ἔδωκε τὰς δέκα ἐντολὰς, εἰς τοὺς Ἑβραίους, γεγραμμένας μὲ τὸν ἑαυτοῦ δάκτυλον, ἐπάνω εἰς τὰς δύω λιθίνας πλάκας. Τώρα δὲ ὁ Ἄρχων τῶν τοῦ Θεοῦ Ἀγγέλων, ἔδωκεν εἰς ὅλους τοὺς ὀρθοδόξους,



τὸν πλέον γλυκύτερον, καὶ ἐρασμιώτερον ὕμνον τῆς Μητρὸς τοῦ Θεοῦ, γεγραμμένον εἰς λιθίνην πλάκα, μὲ τὸν Ἀρχαγγελικὸν αὐτοῦ δάκτυλον.

Βλέπε δὲ καὶ πῶς ἐπληρώθη ἡ προφητεία τοῦ θείου Γαβριὴλ, ὁποῦ εἶπεν, ὅτι νὰ ψάλλωσι τὸν ὕμνον τοῦτον ὅλοι οἱ ὀρθόδοξοι· διατὶ τόσον κοινὸς, καὶ τόσον ποθεινὸς ἐγένετο ὁ Ἀγγελοσύνθετος οὗτος ὕμνος εἰς ὅλους τοὺς ὀρθοδόξους, ὥστε ὁποῦ, καὶ αὐτὰ τὰ μικρὰ παιδάρια τῶν Χριστιανῶν, ἠξεύρουν καὶ τὸν ψάλλουν μεγαλοφώνως τὴν σήμερον, μὲ μεγάλην χαρὰν τῆς καρδίας των, εἰς δόξαν τῆς Θεοτόκου. Ἧς ταῖς ἁγίαις πρεσβείαις ἀξιωθείοιμεν τῆς Βασιλείας τῶν οὐρανῶν. Ἀμήν (α).

Τὸ παρὸν θαῦμα ἐγένετο ἐπὶ τῆς Βασιλείας Βασιλείου καὶ Κωνσταντίνου τῶν αὐταδέλφων, τῶν καὶ Πορφυρογενήτων καλουμένων, υἱῶν Ῥωμανοῦ τοῦ Νέου ἐν ἔτει σωτηρίῳ, 980. Νικολάου δὲ τοῦ Χρυσοβέργου Πατριαρχοῦντος, ἐν ἔτει ἀπὸ κτίσεως Κόσμου ,ςυη.

---

Ὠδὴ ζ. οὐκ ἐλάτρευσαν.

Πανεξαίρετον τιμὴν προσαπενείμαντο, πατέρες ἅπαντες, οἱ πρὶν καθὰ καὶ οἱ νῦν, εἰκόνι τῇ θείᾳ σου, ταύτῃ Πανάμωμε, δικαιότατα· τιμῆς καὶ γὰρ ἠξίωται, ὅτι πλείστης παραδόξως.

Πλείστης χάριτος, ἠξίωται ἡ θεία σου εἰκὼν Πανάμωμε, κἂν γὰρ σαφῶς πρὸς αὐτὴν, σοῦ ὕμνου προοίμια, πρῶτον ἐλέλεκτο τῇ παρουσίᾳ σου. Διὸ κατὰ χρέος νῦν, ταύτην πόθῳ προσκυνοῦμεν.

---

(α) Ὥστε, τέσσαρας ὕμνους ἔχομεν ἐν τῇ καθ' ἡμᾶς Ἀνατολικῇ Ἁγίᾳ τοῦ Χριστοῦ ἐκκλησίᾳ, ὑπὸ Ἀγγέλων ὑμνησθέντας τὸ πρῶτον. Τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ. Τὸ, Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· καὶ τὸ, Τρισάγιον· ἤτοι τὸ Ἅγιος, ὁ Θεὸς, Ἅγιος Ἰσχυρὸς, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. Ἕνα δὲ εἰς τὴν Θεοτόκον, τὸν παρόντα. Ὅσοι δὲ λέγουσιν, ὅτι ἐκ τῆς Ἁγίας Εἰκόνος τῆς Θεοτόκου ἐξεφωνήθη ὁ ὕμνος, τοῦ, Ἄξιόν ἐστι, οὐκ ὀρθῶς λέγουσιν.

Οὐ λατρεύομεν, εἰκόνι σου Πανάχραντε, ὡς διαβάλλουσιν, ἡμᾶς ἀλλὰ σχετικῶς, τιμῶμεν Πανάχραντε, ταύτην χαίροντες, ἀσπαζόμεθα, τιμητικῶς οἱ δοῦλοί σου, νῦν τε καὶ εἰς τοὺς αἰῶνας.

Σὺν σοὶ Πάναγνε, οὐ λείπομεν γεραίροντες, καὶ τὸν λαμπρὸν Γαβριὴλ, ἡμᾶς ἐκδιδάξαντα, ἤδη τοὺς ὕμνους σου, ὃς καὶ πρότερον, σοὶ προσφωνῶν ἐκραύγαζε, χαῖρε κεχαριτωμένη.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ ή. Παῖδας εὐαγεῖς ἐν τῇ...

Παῖδας εὐαγεῖς ἐν τῷ σεπτῷ σου, Ναῷ τῷδε Θεοτόκε ἐκμιμούμενοι, ἐν τοῖς θαυμασίοις σου. οἷς τελεῖ ὁ Κύριος, εἰς δόξαν σου Πανάχραντε, ᾄδοντες ψάλλομεν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὄντως εὐκλεὴς, ὃς ἠξιώθη τῶν θείων ἀκηκοέναι ἐγκωμίων σου, δι' Ἀγγέλου Πάναγνε, Κόρη Παναμώμητε, ὡς σὸς Υἱὸς ηὐδόκησε, δι' οὗ τοὺς ἅπαντας, ἐδίδαξεν ὑμνεῖν σε ἀξίως καὶ ὑπερυψοῦν σε εἰς πάντας τοὺς αἰῶνας.

Ἄδειν κατ' ἀξίαν ἐκληρώθη, ὁ τόπος οὗτος καλεῖσθαι ἐφ' ὃν γέγονε, τοῦτο τὸ θαυμάσιον, ὃ καὶ ἐπεκράτησε, μέχρις ἡμῶν ἀΐδιον, εἰς μνήμην ἄχραντε τοῦ θαύματος· ὡς ἂν σὲ ὑμνῶμεν, καὶ ὑπερυψῶμεν εἰς πάντας.

Ἄξιον ἐστὶν ἄχρι τῆς δεῦρο, καλεῖται τρανῶς, καὶ τοῦτο τὸ Μονήδριον, καὶ εἰκὼν ἡ θεία σου, οἷς περ πρῶτον ἔψαλτο, σοῦ ὕμνου τὰ προοίμια Παρθένε Ἄχραντε, ὡς ἅπαντας ὑμνεῖν σε ἀξίως, καὶ ὑπερυψοῦν σε εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ. Ἅπας γηγενής.

Ἅπαντες οἱ σοὶ, ἱκέται συντρέχομεν, Ναῷ τῷ θείῳ σου, καὶ πανηγυρίζομεν, λαμπρὰν τελοῦντες ἤδη πανήγυριν, τῇ ἐτησίῳ σήμερον μνήμην τοῦ θαύματος, τοῦ σοῦ ὕμνου τῆς ἀναπληρώσεως Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.



Ἄξιον, οὐ παύομεν λέγοντες τὸ μακαρίζειν σε, τὴν ἀειμακάριστον, ὡς ἀληθῶς τε καὶ παναμώμητον, καὶ τοῦ Θεοῦ Μητέρα σε, ἡμῶν γηθόμενοι, ὑπ' ἀγγέλου, ταῦτα μυηθέντες νῦν, Θεοτόκε ἁγνὴ ἀειπαρθένε.

Ἅμα τὸν λαμπρὸν καὶ θεῖον Ἀρχάγγελον, Γαβριὴλ σήμερον, χαίροντες δοξάζομεν, χαριστηρίους ᾠδὰς προσφέροντες, δι' ἐξαισίου θαύματος πάντας διδάξαντα, θεῖον ὕμνον, ἁγνῆς Θεομήτορος, χαίροις μύστα ἀῤῥήτων κραυγάζοντες.

Χαῖρε ὦ Ναὲ, Πρωτάτου πανένδοξε, ἐναμβρυνόμενος, τῷ πλουτεῖν τὴν πάντιμον, εἰκόνα θείαν καὶ χαριτόβρυτον, τῆς μόνης Θεομήτορος καὶ τῆς προστάτιδος, χώρου τοῦδε, Ὄρος γὰρ ἀπόλεκτος, τοῦτο κλῆρος αὐτῇ προσκεκλήρωτε.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάρ. Γυναῖκες ἀκουτίσθητε.

Ἀθροίσθητε σκιρτήσατε, φαιδρῶς πανηγυρίσατε ὁ Γαβριὴλ γὰρ ὁ θεῖος, Μονάζοντι νῦν ἐπέστη, Μοναδικῷ ἐν σχήματι, ὕμνους τῆς Θεομήτορος, πρῶτος φθεγξάμενος, ἐν Ὄρει τούτῳ λαχόντι, αὐτὴν προστάτην ἐξόχως. Δίς.

Εἰς τοὺς Αἴνους στίχ. δ'. ἦχος ά.

Τῶν Οὐρανίων ταγμάτων.

Τῶν Οὐρανίων ἀψίδων, ὁ Γαβριὴλ κατελθὼν, ξένῃ μορφῇ ὡράθη, μοναχῷ ὑπηκόῳ, σοὺς ὕμνους ὦ Παρθένε, ἀήθης αὐτῷ, ᾄδω νῦν ὁ Ἀρχάγγελος, προοιμιάζων τὸν ὕμνον ὅνπερ ποτὲ, ὁ Κοσμᾶς σοὶ ἐμελώδησεν. Δίς.

Ὁ Γαβριὴλ τῇ Παρθένῳ, πρὶν Εὐαγγέλια, ἐξ οὐρανοῦ κομίσας, ἀνεβόα τὸ χαῖρε, νῦν δὲ τοὺς ξένους ὕμνους αὐτῆς θαυμαστῶς, Ὄρει τῷδε ἐδίδαξε· τὸ μακαρίζειν προσᾴδων ὡς ἀληθῶς ἐστιν ἄξιον τὴν Πάναγνον.

Πόθῳ τὴν θείαν εἰκόνα, σοῦ προσκυνοῦμεν Ἁγνὴ, ἐφ' ἧς ἐψάλθη πρῶτον, τὰ προοίμια ὕμνου, τοῦ σοῦ ὑπὸ Ἀγγέλου,

ὅθεν πιστῶς, ταύτην νῦν ἀσπαζόμεθα, καὶ Γαβριὴλ τὸν θεῖον ἅμα φαιδρῶς, ἑορτάζομεν ὡς πρόξενον.

Δόξα καὶ νῦν. Ἦχος πλ. δ΄.

Τίς λαλήσει τὰς δυναστείας σου Ἁγνή; ἢ τίς ἐξαριθμήσει τῶν θαυμάτων σου τὰ πλήθη; πολλὰ καὶ ὑπὲρ φύσιν ἐνεργεῖς τὰ σὰ τεράστια. Βαβαὶ τῶν μεγαλείων, ὧν καὶ ἤδη ἐξηργάσω! σοῦ ὕμνου γὰρ προοίμια, δι' Ἀγγέλου Πάναγνε. Ἡμῖν παρέδωκας Παρθένε, καὶ ξένως ἐπὶ πλακὸς ταῦτα γραφῆναι, Σὺ ηὐδόκησας προνοίᾳ σου, ἐν ὕμνοις γεραίρειν σε, τὴν Παναμώμητον.

Δοξολογία Μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἀπὸ τοῦ Κανόνος· ᾠδὴ γ΄. καὶ ς΄.

Ἀπόστολον, Εὐαγγέλιον καὶ Κοινονικὸν, ζήτει τῆς Κοιμήσεως.

## Μεγαλυνάρια.

Χαίροις ἡ Προστάτις τῶν Καρεῶν, καὶ τῶν ἐν τῷ Ἄθειν, ἐνοικούντων ἡ βοηθός, ἡ ὑπὸ Ἀγγέλου τὸν ὕμνον δεξαμένη, ἡμῶν δὲ ἡ προστάτις καὶ ὁδηγήτρια.

Χαίροις τοῦ Πρωτάτου θεῖος Ναὸς, ἔχεις γὰρ ἐν θρόνῳ ἱδρυμένην ἀεὶ ἐν σοὶ, τὴν ὑπὸ Ἀγγέλου τὸν ὕμνον δεξαμένην, τὴν πρύτανιν τοῦ Ὄρους, καὶ τὴν ὑπέρμαχον.

Χαίροις τοῦ Πρωτάτου θεία Μονή, ἡ τῆς Βασιλίδος τὴν εἰκόνα ὡς θησαυρὸν, ἔνδοθεν πλουτοῦσα, τὴν ἔφορον τοῦ Ἄθω τὴν Ἀγγελώνυμον.

Χαίροις ἡ τοῦ Ἄθω θεῖος φρουρὸς, πρόμαχος καὶ φύλαξ, καὶ ἀντίληψις κραταιά· χαῖρε τοῦ σοῦ κλήρου, ἡ πρύτανις καὶ σκέπη Θεοχαρίτωτε.

Ἄξιον ἐστὶν ὡς ἀληθῶς, ἡ ὑπὸ Ἀγγέλου δεξαμένη σὺ εἶ ἁγνή, καὶ ἡμῶν προστάτις, ἐνθάδε τῶν οἰκούντων, καὶ προσκαλουμένων Κόρη πανάμωμε.



## Εὐκτικόν.

Δέξαι μου τὴν δέησιν Μαριάμ, καὶ τοὺς δακρυρρόους στεναγμούς μου, Μῆτερ Ἁγνή, καὶ ἐκ τῶν παγίδων ἐχθροῦ με σῶσον Κόρη, ἐν σοὶ γὰρ τὴν ἐλπίδα τίθημι Δέσποινα.

---

« Σεραφεὶμ τοῦ Θυηπόλου (ὁ ἱερομόναχος οὗτος Σεραφεὶμ ἔζη ἐν ἔτει ἀπὸ κτίσεως Κόσμου 7056. Ἐπειδὴ δὲ τώρα ἔχομεν ἔτος 7306. Λοιπὸν ἀφ' οὗ ἐγγράφη τὸ παρὸν ὑπόμνημα παρῆλθον ἤδη ἔτει 250 ἦν δὲ καὶ πρῶτος τοῦ ἀξίου Ὄρους ὁ ἱερὸς Σεραφεὶμ οὗτος).

## Ὕμνος εἰς τὴν Κυρίαν Θεοτόκον.

Δέσποινα πάντων Δέσποινα, καὶ πάντων ἀνωτέρα
Καὶ πάντων ὑπερέχουσα, τῶν ἄνω Στρατευμάτων.
Ἄνασσα πάντων Ἄνασσα, Μητροπάρθενον κλέος.
Τὸ στήριγμα τῶν εὐσεβῶν, τὸ φῶς τῆς οἰκουμένης.
Ἡ προστασία τῶν πιστῶν, ἡ Γέφυρα τοῦ Κόσμου.
Τῶν Ἀποστόλων ἡ χαρά, καὶ τῶν Ἀγγέλων δόξα.
Τῶν Προφητῶν ἡ καλλονή, καὶ τῶν δικαίων πάντων.
Ὁσίων τὸ ἀγλάϊσμα, Ἁγίων ἡ ἐλπίδα.
Ὁ Πύργος ὁ χρυσόπλοκος, ἡ πόλις ἡ Ἁγία.
Θρόνε ἡλιοστάλακτε, καθέδρα Βασιλέως.
Ἄσπιλε παναμώμητε, Ἄφθορε Παναγία.
Ἀπηλπισμένων ἡ ἐλπίς, καὶ θάλασσα πλεόντων.
Ἀδικουμένων βοηθός, καὶ τῶν ὁσίων πάντων.
Αἰνοῦμεν εὐλογοῦμεν σε, καὶ πάντες προσκυνοῦμεν.
Ἔκτεινον χεῖραν κρατεὰν, καὶ φύλαξον τὸν κόσμον.
Τοὺς Ἱερεῖς εὐλόγησον, τοὺς σὲ ἱερουργοῦντας.
Τοὺς Μοναχοὺς ἐλέησον, τοὺς σὲ ὑμνολογοῦντας.
Τοὺς εὐσεβεῖς Χριστιανοὺς, τοὺς σὲ παρακαλοῦντας.

Τοὺς ἀσθενεῖς θεράπευσον, ἐν ὥρᾳ τοῦ θανάτου.
Τοὺς Βασιλεῖς εἰρήνευσον, τοὺς ἐν τῷ παλατίῳ.
Τοίνυν ὑμᾶς ἀξίωσον, ἰδεῖν τὴν Βασιλείαν.
Τὴν Βασιλείαν Οὐρανῶν, καὶ θύραν Παραδείσου.
Ἄσωμεν πάντες, ᾄσωμεν, ὕμνον τὴν Θεοτόκον.
Βάτον τὴν ἀκατάφλεκτον, Στάμνον τὴν Παναγίαν.
Τὸν γλυκερὸν Παράδεισον, τὴν ἄσπιλον Παρθένον.
Ὑπὸ Δαβὶδ καὶ Ἰεσαὶ, Ἰωακεὶμ καὶ Ἄννης.
Ἐφάνη νέος Οὐρανὸς, καὶ νέα Βασιλεία.
Καὶ τριφεγγὴς Ἀνατολὴ, καὶ θύρα Παραδείσου.
Τὴν γέννησίν σου προσκυνῶ, τὸν Τόκον σου δοξάζω.
Καὶ σὲ ἁγία Δέσποινα, ὑμνῶ καὶ προσκυνῶ σε.
Ψάλλε Δαβὶδ, ψάλλε Μωσῆ, ψάλλατε ὦ προφῆται.
Ψάλλε καὶ σὺ Ἰάκωβε, καὶ ἀδελφὲ Κυρίου.
Ψάλλε καὶ σὺ Παράδεισε, μετὰ τῶν Ἀρχαγγέλων.
Ὅτι ἐφάνη σήμερον, ἡ σοῦ Ἁγιοτέρα.
Καὶ πλατυτέρα Οὐρανῶν, ὑπερκαθαροτέρα.
Ὅταν καθήσῃ ὁ Κριτὴς κρινεῖ τὴν οἰκουμένην
Τότε ἡμᾶς βοήθησον Δέσποινα Θεοτόκε.

ΤΕΛΟΣ

Καὶ τῷ Θεῷ Δόξα.

ΕΛΛΗΝΙΚΟ ΛΟΓΟΤΕΧΝΙΚΟ ΚΑΙ ΙΣΤΟΡΙΚΟ ΑΡΧΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΣΤΡΑΤΟΥ